καθολικὴν ἐκκλησίαν ἐνενόει τε καὶ ἀπεσήμαινεν. Ἡ δὲ ἐπὶ τῆς εἰρημένης ἕκτη ἐρώτησις, περὶ τοῦ βαπτίσματος αὐτὸν ἀνεπυνθάνετο· εἰ μὴ καθάρσιον ἡγεῖται τοῦτο τῶν ψυχῶν, καὶ ψυχικῶν μολυσμάτων, καὶ λυτρὸν ἁμαρτημάτων ἀφέσεως; Ὁ δὲ πάλιν διὰ τῆς ὁμοίας μηχανῆς, καὶ προθύμως ἀπεδίδου τὴν τιμῶσαν τὸ βάπτισμα, καὶ ἀποδεχομένην ἀπόκρισιν, τῇ τοῦ βαπτίσματος φωνῇ, ὁ πάντα φύρων καὶ συγχέων, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑποβάλλων· γεγράφθαι γὰρ αὐτὸν εἶναι τὸ ὕδωρ τὸ ζῶν. Οὕτως δὴ οὗτος τὸ δόλιον ἐκεῖνο καὶ κακομήχανον τέρας, μηδὲν μὲν τῆς ἀποστολικῆς καὶ καθολικῆς ἐκκλησίας τὸ παράπαν φρονῶν, μᾶλλον δὲ τἀναντία πάντα περιθάλπων τε καὶ περιέπων καὶ τιμῶν, ἐπεὶ πρὸς τὰς ἐκκλησιαστικὰς ἐνομίσθη τοῖς παροῦσιν οὐκ ἀπομάχεσθαι λέξεις, ὑφ' αἷς ἐκεῖνος τὸν θανατηφόρον τῆς ἀποστασίας ἔκρυπτεν ἰόν, ἔδοξεν, ὥσπερ ἔφημεν, ἀπ' ἀρχῆς ὁ τρισαλιτήριος ἐκεῖνος, οὐκ ἔνοχος ἀσεβείας εἶναι, ἀλλὰ τοῦ φρονήματος ὑπάρχειν τοῦ ἐκκλησιαστικοῦ. Ἀπολύεται δὴ διὰ τοῦτο τῆς ἐξετάσεως ἠθωωμένος, ὁ διπλὴν ἄξιος ὑποσχεῖν τιμωρίαν· τῆς τε πατρῴας ἀσεβείας, καὶ τῆς ἀπάτης· δι' ἧς τῶν τε κρινόντων τὴν ὀρθὴν κρίσιν διέστρεψε, καὶ δόξαν ἑαυτῷ, δυσσεβέστατος ὤν, τῆς ἡμῶν εὐσεβείας περιέθηκε. Πλὴν ἀλλ' ἐπεί γε τοιαύταις μηχαναῖς τοῦ κριτηρίου ἀπολυθεὶς, ἀξιοῦται καὶ λαμβάνει παρὰ τοῦ βασιλέως τύπον ἔγγραφον, πᾶσαν αὐτῷ διδόντα τὴν ἄδειαν, οἴκοι τε διατρίβειν, καὶ τὰ αὐτοῦ ἀνεπηρεάστως πράττειν, καὶ μηδὲν ἔτι τῶν συκοφαντῶν δεδιέναι τὰς γλώσσας. Ἀπάρας οὖν τῆς βασιλίδος, καὶ καταλαβὼν τὴν Ἐπίσπαριν, συναθροίζει μὲν τοὺς τῆς ἀποστασίας μαθητάς. Ἐκεῖθεν δὲ πρὸς τὴν Μανάναλιν, ἐξ ἧς ὁ προειρημένος ὥρμητο Κωνσταντῖνος, φυγὰς σὺν τοῖς ἑπομένοις παραγίνεται.

f. ἔπειτα